τῆς εἰρήνης τῆς πρὸς Λακεδαιμονίους ἀγαθὰ τῇ
πόλει καὶ δύναμις τῷ δήμῳ τῷ Ἀθηναίων ἐγένετο.
6 Μετὰ δὲ ταῦτα δι' Αἰγινήτας εἰς πόλεμον κατέστη-
μεν, καὶ πολλὰ κακὰ παθόντες πολλὰ δὲ ποιήσαν-
τες ἐπεθυμήσαμεν πάλιν τῆς εἰρήνης, καὶ ᾑρέθησαν
δέκα ἄνδρες ἐξ Ἀθηναίων ἁπάντων πρέσβεις εἰς
Λακεδαίμονα περὶ εἰρήνης αὐτοκράτορες, ὧν ἦν καὶ
Ἀνδοκίδης ὁ πάππος ὁ ἡμέτερος. οὗτοι ἡμῖν εἰρή-
νην ἐποίησαν πρὸς Λακεδαιμονίους ἔτη τριάκοντα.
καὶ ἐν τοσούτῳ χρόνῳ ἔστιν ὅπου, ὦ ⟨ἄνδρες⟩ Ἀθη-
ναῖοι, ὁ δῆμος κατελύθη; τί δέ; πράττοντές τινες δήμου
κατάλυσιν ἐλήφθησαν; οὐκ ἔστιν ὅστις ἀποδείξει.
7 ἀλλ' αὐτὸ τὸ ἐναντιώτατον· αὕτη γὰρ ἡ εἰρήνη
τὸν δῆμον τὸν Ἀθηναίων ὑψηλὸν ἦρε καὶ κατέστη-
σεν ἰσχυρὸν οὕτως, ὥστε πρῶτον μὲν ἐν τούτοις
τοῖς ἔτεσιν εἰρήνην λαβόντες ἀνηνέγκαμεν χίλια
τάλαντα εἰς τὴν ἀκρόπολιν, καὶ νόμῳ κατεκλῄσαμεν
ἐξαίρετα εἶναι τῷ δήμῳ, τοῦτο δὲ τριήρεις ἄλλας
ἑκατὸν ἐναυπηγησάμεθα, καὶ ταύτας ἐξαιρέτους
ἐψηφισάμεθα εἶναι, νεωσοίκους τε ᾠκοδομησάμεθα,
χιλίους τε καὶ διακοσίους ἱππέας καὶ τοξότας το-
σούτους ἑτέρους κατεστήσαμεν, καὶ τὸ τεῖχος τὸ

del. Bl. coll. § 7. — τότε post ταῦτα add. W. — τῷ δήμῳ om. pr. A. — τῷ Ἀθην. Spengel, W.: τῶν (in ras. Q) ἀθ. item § 7.

6. αἰγηνίτας A. — κατεστήσαμεν pr. A. — μὲν post πολλὰ addi malit R. — ᾑρέθησαν Q (cum Steph. R.): εὑρέθησαν A. — ὑμῖν A Turr. (cf. § 4). — ἐποίησαν auct. Bk. Turr.: ἐποιήσαντο. — ἄνδρες Bl. hic addere oblitus erat.

7. ἡ om. Q. — τὸν Ἀθηναίων Bk. W.: τῶν ἀθηναίων A Q. — ἦρεν Q. — εἰρήνην ἄγοντες R. L. — verba ἐν τούτοις . . . λαβόντες del. Dobr., εἰρήνην λαβ. del. Kays. — χίλια τάλ. ἀνην. Q L. (Aesch.). — κατεκλῄσαμεν Bl.: κατεκλείσαμεν. — τῷ δήμῳ del. Dobr. — νεωσοίκους] cf. Harp. s. v. νεώρια

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id403675685/100 UNIVERSITÄT LEIPZIG